ταῦτα, καὶ μετ' εὐγνωμοσύνης διδόντων ἀπὸ τῶν μηδεμίαν ἐξουσίαν ἐχόντων ταῦτα χαρίζεσθαι. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ὑπόμνημα τῇ αὐτοχείρῳ ἡμῶν ὑποσημασίᾳ καὶ τῇ διὰ μολύβδου βούλλῃ βεβαιωθὲν ἐπεδόθη τοῖς μοναχοῖς πρὸς ἀσφάλειαν. μηνὶ ὀκτωβρίῳ, ἰνδικτιῶνος ζ', ἔτους ,ϛχξζ'. †

† Ὁ ταπεινὸς μοναχὸς Λουκᾶς καὶ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης. †

*Edidit I. Sakkelion in periodico* Εὐαγγελικὸς κήρυξ *anno VII (1863) p. 321—327. Flor. II. nro 22. Exemplar antiquum nro 23, confirmatum subscriptione episcopi Mileti Manuel. Nro 24. aliud exemplar scriptum a Nicephoro Chartophylace, aliud recens nro 25 scriptum a Ioachim* Φλωρέζη.

## XXX. (6669—1161) mense maio, ind. IX.

*Imperator Manuel Comnenus donat monasterio libras duo nummorum ex reditu Cretae conceditque monachis facultatem emendi frumentum in insula.*

† Τοῖς ἐνασκουμένοις ἐν τῇ κατὰ τὴν νῆσον Πάτμον ἱδρυμένῃ σεβασμίᾳ μονῇ ἐπ' ὀνόματι τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου [τοῦ Θεολόγου . . . . . . . . . . . ὅ]πως παρὰ τῶν ἐν βασιλεῦσιν ἀοιδίμων, τοῦ τε πάππου τῆς βασιλείας μου καὶ τοῦ αὐθέντου καὶ πατρὸς αὐτῆς, ἀλλὰ δὴ καὶ παρ' [αὐτῆς τῆς βασιλείας μου παρέχωνται αὐτοῖς] σίτου μόδιοι ἑπτακόσιοι· ἐπεὶ δὲ διά τινα συμπεσόντα ἐπὶ ταῖς κατὰ τὴν νῆσον Κρήτην . . . . . . εσιν, ἐξ ὧν γεννήματα . . . . . . . . . . . . . . . . . . . . . . χερσὶ τοῖς τοιούτοις ἦν μοναχοῖς, τὸ τὸν ἐκεῖθεν αὐτοῖς τυπωθέντα, καθὼς εἴρηται, σῖτον ἀναλαμβάνεσθαι, καὶ διὰ τοῦτο ὁ νῦν τὴν τῆς [εἰρημένης σεβασμίας μονῆς προ]στασίαν πεπιστευμένος, τιμιώτατος μοναχὸς Λεόντιος, καταλαβὼν πρὸς τὴν βασιλείαν μου, ᾐτήσατο σχολάσαι μὲν τὰς ἐπὶ ταῖς . . . . . . . . . . . . . . . . . μονῇ βασιλικὰς προστάξεις, τυπωθῆναι δὲ αὐτῇ ἀντὶ τῆς [τοια]ύτης τοῦ σίτου ποσότητος νομισματικὴν δόσιν ἀπὸ τοῦ ἀκροστίχου τῆς αὐτῆς νήσου Κρή[της . . . . . .] διὰ τῶν οὕτω τυπωθησομένων αὐτοῖς νομισμάτων ἐξωνεῖσθαι ἀπὸ τῆς νήσου Κρήτης εἴδη δι[άφορα . . . . . . . . . . . . . τυπω]θῆναι [αὐ]τοῖς . . . . . . . . . [εἴ]δεσι κομμερκίου, ὅσον ἂν ἡ βασιλεία μου εὐδοκήσῃ ἐπέκεινα τοῦ φθάσαντος ἀποχαρισθῆναι αὐ[τοῖς σίτου] ἐξωνουμένων εἰδῶν διὰ τῶν [τ]υπω[θέντων παρὰ τοῦ] πατρὸς τῆς βασιλείας μου καὶ αὐτῆς τῆς βασιλείας μου τεσσαράκοντα ὀκτὼ νομισμάτων τρικεφάλων καινουργιῶν, ἡ βασιλεία μου τὴν τοῦ τοιούτου καθηγουμένου αἴτησιν [ἀποδεξαμένη διορίζεται διὰ] τῆς παρούσης

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Εργ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

προστάξεως, ἀπρακτῆσαι τὰ ἐπὶ τοῖς ἑπτακοσίοις τοῦ σίτου μοδίοις γεγονότα τῇ κατ' [αὐτοὺς μονῇ] προστάγματα, τυπ[οῦται δὲ δίδοσθαι ἀντὶ τοῦ] τοιούτου σίτου ἀπὸ τοῦ ἀκροστίχου τῆς νήσου Κρήτης νομίσματα τρικέφαλα, τὰ κατὰ τὴν ἡμέραν προτιμώμενα λίτραι δύο, δίδοσθαι τούτοις ὀφείλοντα [ἀπαρασπά]στως παρὰ [τῶν κατὰ] καιροὺς ἐνεργούντων ἐν τῇ τοιαύτῃ νήσῳ, εἴτε ἐπὶ πάκτον, εἴτε εἰς τὸ πιστὸν ἐνεργοῦσιν, ἀνυστερήτως καὶ ἀνυποκρατήτως, καὶ ἄνευ ἑτέρας προστάξεως ἢ ὑπομν[ήσεως] καὶ γραφῆς τοῦ κατὰ τὴν ἡμέραν τῶν σεκρέτων προεστῶτος, κἂν αἱ ἔξω λογαρικαὶ δό[σεις] σχολὴν . . . ὡρίσθησαν, ἀπ' ἀρχῆς μέντοι τοῦ σεπτεμβρίου μηνὸς τῆς τρεχούσης ἐννάτης ἰνδικτιῶνος, καὶ μέχρις ἂν ὁ παρὼν διαρκοίη αἰών· δέχεσθαι γὰρ καὶ τούτοις ὀφείλουσιν ἐπέκεινα τῶν προτυπωθέντων τῇ τοιαύτῃ [μονῇ], καθὼς δεδήλωται, τεσσαράκοντα ὀκτὼ καινουργίων τρικεφάλων, τῇ ἐμφανείᾳ τῶν παρὰ τοῦ μέρους τῆς μονῆς γίνεσθαι μελλουσῶν αὐτοῖς ἀποδείξεων [ἐπὶ] τῇ τούτων ἀπολήψει. σὺν τούτοις ἐκχωρεῖ ἡ βασιλεία μου τοῖς τῆς αὐτῆς μονῆς μοναχοῖς, καὶ ἐξωνεῖσθαι ἀπὸ τῆς νήσου Κρήτης διὰ τῶν τοιούτων δύο τρικεφάλων καινουργίων λιτρῶν, οἷα ἂν καὶ ὅσα βούλοιντο εἴδη, μόνα δὲ διαβιβάζειν ἀπὸ τούτων ἀκομμέρκευτα καὶ χωρὶς ἑτέρας οἱασοῦν δόσεως, ὅσοις ἐπιβάλλει ὑπὲρ κομμερκίου τρικέφαλα καινούργια δεκαπέντε· δεχθήσεται γὰρ καὶ ταῦτα τοῖς κατὰ καιροὺς ἐνεργοῦσιν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ διηνεκὲς δι' ἐμφανείας ἀποδείξεων δηλουσῶν μηδὲ τοῦτο ἐκ τῶν μοναχῶν ἀπαιτεῖσθαι. ἐπεὶ δὲ ὁ τοιοῦτος καθηγούμενος ἀνήνεγκε τῇ βασιλείᾳ μου ὑποκρατηθῆναι τῇ κατ' αὐτὸν μονῇ παρὰ τῶν ἐν Κρήτῃ ἐνεργησάντων, ἐπὶ μὲν τέσσαρσιν ἐγχρονίαις τοὺς τοιούτους ἑπτακοσίους τοῦ σίτου μοδίους, ἐπὶ δὲ τρισὶν ὡσαύτως ἐγχρονίαις τὰ διαληφθέντα τεσσαράκοντα ὀκτὼ . . . . . . [νομίσματα, διορ]ίζεται ἡ βασιλεία μου δοθῆναι τῇ μονῇ τόν τε τοιοῦτον σῖτον καὶ τὰ νομίσματα παρὰ τῶν [ὑπο]κρατησάντων ταῦτα αὐτῇ ἀνυστερήτως [μετὰ τῶν] ῥηθεισῶν τεσσάρων καὶ τριῶν ἐγχρονιῶν, πάσης προστάξεως ἐναντιουμένης τῇ παρούσῃ προστάξει τῆς βασιλείας μου ἀπρακτῆσαι ὀφειλούσης, ὅσον ἐπὶ τοῖς ἐνταῦθα διωρισμένοις. καὶ εἰς εἴδησιν καταστρωθεῖσα τοῖς προσφόροις σεκρέτοις ἡ παροῦσα τῆς βασιλείας μου πρόσταξις ἀντιστραφήσεται τῇ διαληφθείσῃ μονῇ εἰς ἀσφάλειαν, ἀρκέσουσα ταύτῃ καὶ ἀντὶ χρυσοβούλλου γραφῆς. **Τό:** μηνὶ ἀπριλλίῳ, ἰνδικτιῶνος θ', δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός· ἡ διὰ κηροῦ συνήθης βασιλικὴ σφραγίς· καὶ τό: «διὰ τοῦ λογοθέτου τοῦ δρόμου» καὶ ἔξωθεν τό: «κατεστρώθη διὰ χειρὸς τοῦ σεβαστοῦ καὶ μεγάλου δρουγγαρίου»· τό: «κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογαριαστοῦ κατὰ μῆνα μάιον, ἰνδικτιῶνος θ'» καὶ τό:

«κατεστρώθη ἐν τῷ σεκρέτῳ τῶν οἰκειακῶν, μηνὶ μαΐῳ, ἰνδικτιῶνος θ'». †

† Τὸ παρὸν ἴσον τῷ ἐμφανισθέντι μοι πρωτοτύπῳ κατεστρωμένου προσκυνητῷ βασιλικῷ καὶ θείῳ προστάγματι ἐξ ἀντιβολῆς ἰσάζον εὑρὼν ὑπέγραψα. †

† Ὁ σεβαστὸς καὶ μέγας δρουγγάριος . . . . . . . ὁ . . . . . †

† Ὁ πρωτοασηκρῆτις Νικόλαος ὁ Ζωναρᾶς τὸ παρὸν ἴσον μετὰ τοῦ ἐμφανισθέντος μοι πρωτοτύπου προσκυνητοῦ προστάγματος ἀντιβαλὼν ὡς ἰσάζον τῷ πρωτοτύπῳ ὑπέγραψα. †

† Ὁ δικαιοδότης Θεοδόσιος ὁ Παντεχνὴς ἀντιβαλὼν ὁμοίως ὑπέγραψα. †

† Ὁ κοιαίστωρ Γεώργιος . . . . . . . . καὶ αὐτὸς ἀντιβαλὼν ὁμοίως ὑπέγραψα. †

*Exemplar chart. Flor. nro 60.*

## XXXI. 6694–1186, mense ianuario, ind. IV.

*Imperator Isaacius Angelus confirmat privilegia monasterii eximitque eius naves peculiares a decima.*

† Καινὸν ἡγεῖται τὸ πρᾶγμα ἡ βασιλεία μου, ὅπως ὁ ἐν βασιλεῦσιν ἐκεῖνος ἀοίδιμος βασιλεὺς καὶ πρόπαππος τῆς βασιλείας μου, κῦρις Ἀλέξιος ὁ Κομνηνός, ἀτελὲς κατέλιπε τὸ καλόν, ὥσπερ τις οἰκίαν προθέμενος ξυναρμόσασθαι, εἶτα βαλὼν ὑποβάθρας καὶ τοίχους ἐπανεγείρας καὶ ὄροφον μὴ συνθείς· ἐπεβραβεύσατο γὰρ ἐκεῖνος διὰ χρυσοβούλλων λόγων τῇ ἐν τῇ νήσῳ Πάτμῳ σεβασμίᾳ μονῇ, τῇ ἐπ' ὀνόματι τιμωμένῃ τοῦ ἐπιστηθίου, ἠγαπημένου μαθητοῦ τῷ σωτῆρι Χριστῷ καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἐξκουσσείαν καθ' ὁλόκληρον, ὧν ἂν εἴκῃ τις κεφαλαίων, χωρὶς τῆς δεκατείας, πλοιαρίων τριῶν μὴ καταγεγραμμένων ἐν κώδηξι δημοσιακοῖς, ὄντων τε χωρήσεως χιλιάδος μιᾶς πρὸς τῇ ἡμισείᾳ, καὶ μικρόν τι πρὸς ἢ ἔλαττον, διοριζομένου τὸ ὥστε ἔχειν αὐτὰ τὰ πλοῖα ἐπ' ἀδείας πλέειν ἁπανταχοῦ τῶν τῆς Ῥωμαϊκῆς ἐπικρατείας μερῶν, πάσης οἱασδήτινος ἐλεύθερα συζητήσεως τε καὶ ἐπηρείας, ἄνευ μέντοι τῆς δεκατείας, ὡς εἴρηται. ἐπεὶ δὲ οἱ κατὰ τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν μοναχοὶ ᾐτήσαντο τὴν βασιλείαν μου ἐξκουσσεύεσθαι τὰ τοιαῦτα πλοῖα καὶ ἀπὸ τοῦ κεφαλαίου τῆς δεκατείας, εἴτουν κομμερκίου, πῶς οὐκ ἂν ἡ βασιλεία μου

τὴν αἴτησιν τούτων προσδέξατο; «ἀντὶ γὰρ τῶν πατέρων ἐγεννήθησαν οἱ υἱοί». ἐφ' ᾧ καί, ὅπερ ὁ ἀοίδιμος ἐκεῖνος βασιλεύς, ὡς διείληπται, καὶ πρόπαππος τῆς βασιλείας μου ἀφῆκεν ἀτέλεστον, ἡ βασιλεία μου πρὸς πέρας ἄγει καὶ τελειοῖ· διορίζεται γὰρ διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, ἔχειν μὲν τὰ προσόντα χρυσόβουλλα τῇ διαληφθείσῃ μονῇ, ὡς δεδήλωται, τὸ ἀπαρεγχείρητόν τε καὶ ἀπαράθραυστον, καὶ μὴ τολμᾶν τινὰ τῶν δημοσιακὰς ἐνεργούντων δουλείας ἢ αὐτῶν τῶν κατὰ καιροὺς παραθαλασσιτῶν πειρᾶσθαι μερικῶς ἢ καθόλου ἐπηρεαστικῶς ἀθετεῖν τι ἢ ἀνατρέπειν τῶν ἐμπεριειλημμένων αὐτοῖς, ὡς ὀφειλόντων λογίζεσθαι, ὡς εἴπερ νῦν παρὰ τῆς βασιλείας μου ἐγεγόνεισαν, ἐξκουσσεύεσθαι δὲ σὺν τούτοις καὶ κατὰ τὸ τῆς δεκατείας ἅπαν κεφάλαιον ἐπί τε τῶν οἰναρίων καὶ παντὸς ἑτέρου εἴδους καὶ πράγματος τὰ δηλωθέντα πλοιάρια, καὶ ἐν τῇ θεοσώστῳ Κωνσταντινουπόλει ἅπαξ τοῦ ἐνιαυτοῦ καταίροντα, ὡς ὀφείλοντα δέχεσθαι καὶ τὰ τῷ τοιούτῳ κεφαλαίῳ τῆς δεκατείας ἀνήκοντα, καὶ τοῖς κατὰ καιροὺς ἐνεργοῦσι τὴν τῆς θαλάσσης δουλείαν, τῇ ἐμφανείᾳ τῶν μελλουσῶν προβαίνειν πεπιστωμένων ἀποδείξεων ἀπὸ τοῦ μέρους τῆς πολλαχῶς διαλειφθείσης σεβασμίας μονῆς, εἴτε ἐπὶ πάκτον ἢ καὶ εἰς τὸ πιστὸν ἐνεργοῦσιν. εἰδέναι μέντοι ὀφείλει ὁ βουληθεὶς ἀνατρέψαι ἢ ἀθετῆσαί τι ἀπὸ τῶν ἐμπεριειλημμένων τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου, τῇ ἀπὸ τῶν νόμων ποινῇ ὑποκείσεται τῇ κολαζούσῃ τοὺς καταφρονητὰς τῶν βασιλικῶν προσταγμάτων· οὐ κατά τι δὲ λυμανεῖται τὰ τοιαῦτα πλοῖα ἢ τὸ πλοῖον τὸ μὴ ῥητῶς ἀνατάχθῆναι πάντα εἴδη τε τῶν ἐπηρειῶν καὶ κεφάλαια· ὀφείλουσι γὰρ ἐξακούεσθαι κἀνταῦθα, ὥσπερ εἰ ῥητῶς ἀνετάχθησαν, τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου λόγου τῆς βασιλείας μου βεβαίου καὶ ἀρραγοῦς διαμένειν ὀφείλοντος εἰς τὸν αἰῶνα τὸν ἅπαντα, γεγενημένου κατὰ τὸν ἰαννουάριον μῆνα τῆς τετάρτης ἰνδικτιῶνος τοῦ ,ϛχϟ' τετάρτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. †

† Ἰσαάκιος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Ἄγγελος. †

*A tergo:* † Κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογαριαστοῦ, μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος δ', κατεστρώθη δὲ διὰ Μιχαὴλ τοῦ Παναγιώτου καὶ διὰ τοῦ Λιβαδᾶ Δημητρίου. Κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ γενικοῦ, μηνὶ ἰαννουαρίῳ, ἰνδικτιῶνος δ', ἔτους ,ϛχϟδ' διὰ Θεοδώρου τοῦ Ματζαρηνοῦ. †

† Κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου σακελλαρίου, μηνὶ φεβρουαρίῳ, ἰνδικτιῶνος δ', διὰ τοῦ Κλαυδιοπολίτου Ἰωάννου. †

† Κατεστρώθη ἐν τῷ σεκρέτῳ τῆς θαλάσσης, μηνὶ φεβρουαρίῳ, ἰνδικτιῶνος δ', διὰ τοῦ Μελίγγου Ἰωάννου. †

*Et ubi folia glutine iuncta sunt:* † Τοῦ σεβαστοῦ καὶ ἐπὶ τοῦ κανικλείου Δημητρίου τοῦ Τορνίκη. †

*Chart. Flor. nro 20. Nro 21 alterum exemplar chart. subscriptum:* † Ὁ κριτὴς τοῦ βήλου Δημήτριος πρωτονοβελίσιμος ὁ Δριμὺς τὸ παρὸν ἴσον ἀντιβαλὼν τῷ πρωτοτύπῳ προσκυνητῷ χρυσοβούλλῳ λόγῳ ὑπέγραψα. † *Ex exemplari descripta sunt, quae legebantur ex aversa parte archetypi:* κατεστρώθη κτλ., *quae propter chartam agglutinatam legi non possunt. Tertium exemplar nro 22, subscriptum:* † Ὁ κριτὴς τοῦ βήλου καὶ ἐπὶ τοῦ ἱπποδρόμου, Ἰωάννης ὁ Μελισσηνός, τὸ παρὸν ἴσον τῷ ἐμφανισθέντι μοι πρωτοτύπῳ προσκυνητῷ χρυσοβούλλῳ ἀντιβαλὼν ὑπέγραψα. †

## XXXII. 6694—1186, mense augusti, ind. IV.

*Imperator Isaacius Angelus eximit a tributis sex colonos monasterii S. Mariae Atheniensis, conditi a monacho Ioannicio in themate Mylasae et Melanudii.*

† Οὐκ ἔδει τὴν ἐκ πολυχρονίου σιγῆς καὶ μακρᾶς βεβιασμένης σιωπῆς τοῦ μοναχοῦ Ἰωαννικίου δεητήριον φωνὴν τὴν βασιλείαν μου ἀποπέμψαι, ἀλλὰ διὰ τὴν μακρὰν αὐτοῦ σιωπὴν τὴν βραχυτάτην αἰδεσθῆναι φωνὴν καὶ τὸ διὰ ταύτης αἰτηθὲν ἐκπληρῶσαι· τὸ δέ, οὐ κατὰ ἀνθρωπίνην θέλησιν, ἀλλὰ κατὰ θεοῦ εὐαρέστησιν. ᾐτήσατο γοῦν ὁ τοιοῦτος τιμιώτατος μοναχὸς τὴν βασιλείαν μου δωρηθῆναι τῇ παρ' αὐτοῦ ἀνεγερθείσῃ μονῇ ἐν τῷ θέματι Μυλάσης καὶ Μελανουδίου, ἐν τῇ τοποθεσίᾳ τοῦ ἁγίου Ἰωάννου τοῦ Βάτου, ἐπ' ὀνόματι τῆς ὑπεραγίας δεσποίνης θεοτόκου τῆς ἐν Ἀθήναις τιμωμένης, ἐξκουσσείαν παροίκων ἓξ προσκαθίσαι ὀφειλόντων, ἔνθα ἂν εὑρεθῶσι, καὶ ἐργάζεσθαι δεσποτικῶς διαφέρουσαν γῆν τῇ παρ' αὐτοῦ ἀνεγερθείσῃ μονῇ, καὶ αἰτησάμενος ἔτυχε· δωρεῖται γὰρ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου τῇ διαληφθείσῃ μονῇ ἐξκουσσείαν παροίκων ἓξ ἐλευθέρων καὶ τῷ δημοσίῳ ἀνεπιγνώστων προσκαθίσαι ὀφειλόντων, ἔνθα ἂν εὑρεθῶσι, καὶ γῆν δεσποτικῶς τῇ διαληφθείσῃ μονῇ διαφέρουσαν ἐργάζεσθαι. καὶ διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, ἐξκουσσεύεσθαι τοὺς τοιούτους παροίκους ἀπὸ πάσης ἀγγαρείας, παραγγαρείας, ψωμοζημίας, ἐννομίου . . . . . . . ., συνδοσίας, καστροκτισίας, συνωνῆς, κεφαλατικίου, κατέργων κτίσεως, πλωΐμων ἐκβολῆς, ἀκτημονητικίου, παροικιατικοῦ

παντὸς καὶ παντοίου τέλους διανομῆς, ἐκβολῆς ἀλόγων, προσκυνητικίου, ἀερικοῦ, καπνικοῦ, νεατ[ικίου], μιτάτου, κυνομαγγώνων, ἱερακαρίων, π . . ερίτ . . ρίων καὶ αὐτῆς δὴ τῆς ἀναγραφῆς, ἀλλὰ μηδὲ εἰσέρχεσθαι εἰς τὰς οἰκίας αὐτῶν τοὺς κατὰ καιροὺς πράκτορας τοῦ τοιούτου θέματος ἤ τινα τῶν ἐξυπηρετούντων αὐτοῖς, κἂν λογαριαστὴς τούτων εἴη, κἂν κατεπάνω ἢ ἐκπροσωπῶν, τοῦ κατατολμήσοντος ποιῆσαι παρὰ τὸν παρόντα χρυσόβουλλον λόγον τῆς βασιλείας μου σφοδρὰν τὴν ἐκ τοῦ βασιλείου ὕψους ἀγανάκτησιν ὑφορωμένου, καὶ προστίμῳ ὑποκεῖσθαι ὀφείλοντος λιτρῶν ὑπερπύρων τεσσάρων ἀσυμπαθῶς ἀπαιτουμένων παρὰ τοῦ κατὰ καιροὺς προκαθημένου τῶν σεκρέτων ἐκ προσελεύσεως τῶν μοναχῶν, τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου βεβαίου καὶ ἀσφαλοῦς τυγχάνειν ὀφείλοντος, γεγενημένου κατὰ τὸν αὔγουστον μῆνα τῆς παρούσης τετάρτης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἐννενηκοστοῦ τετάρτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. †

† Ἰσαάκιος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Ἄγγελος. †

*Archetypum chart. Flor. nro 23.*

## XXXIII. [6697—1188], mense decembri, ind. VII.

*Tribunal maritimum demetitur navem peculiarem monasterii exemptam a tributis secundum privilegia imperatorum, traditque eam monachis.*

† Ἡ ἐν τῇ νήσῳ Πάτμῳ διακειμένη σεβασμία μονὴ τοῦ ἐν ἀποστόλοις ἠγαπημένου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἔχουσα διὰ θείων καὶ βασιλικῶν προσκυνητῶν χρυσοβούλλων ἐξκουσσείαν πλοίων ἰδιοκτήτων χωρήσεως χιλιάδων δύο, μικρόν τι πλέον ἢ ἔλασσον, ὀφειλόντων διαπλωΐζεσθαι ἐν πάσαις ταῖς κατά τε ἀνατολὴν καὶ δύσιν παραλίαις χώραις τῆς Ῥωμανίας καὶ ἐν αὐταῖς ταῖς νήσοις, ἐν δὲ τῇ βασιλευούσῃ τῶν πόλεων καταίρειν ἅπαξ τοῦ ἐνιαυτοῦ, καὶ ἐπαπολαύειν πάσης καὶ παντοίας ἐξκουσσείας, ἀπό τε δόσεως ἀντιναύλου, δεκατείας οἰναρίων, κομμερκίου παντὸς εἴδους, ἄνευ τῶν κεκωλυμένων, καὶ ἑτέρας οἱασδήτινος ἐπηρείας καὶ συζητήσεως, καθὼς πλατύτερον τὰ περὶ τῆς τοιαύτης ἐξκουσσείας προσόντα τῇ μονῇ χρυσόβουλλα παριστῶσιν, ἔφθασεν ἐπικτήσασθαι κατὰ διαφόρους καιροὺς πλοῖα ἰδιόκτητα, ὅσα δῆτα καὶ ἐπεκτήσατο, ἐξαμωθέντα καὶ παραδοθέντα παρὰ τοῦ καθ' ἡμᾶς σεκρέτου. ὅτι δὲ τὰ μὲν τούτων κατάβρωμα τῇ θαλάσσῃ γεγόνασι, τὰ δὲ καὶ ἀλλοτρόπως ἀπώλοντο, καθὼς τοῦτο παρὰ τοῦ τιμιωτάτου καθηγουμένου, κυροῦ Ἀρσενίου, καὶ τῶν

μοναχῶν τῆς τοιαύτης μονῆς, τοῦ τε ἱερομονάχου καὶ οἰκονόμου κυροῦ Ἀντωνίου, τοῦ μοναχοῦ κυροῦ Ἰωαννικίου καὶ τοῦ ναυκλήρου κυροῦ Ἀντωνίου ἐπληροφορήθημεν, ἐπεκτήσατο καὶ νῦν ἡ δηλωθεῖσα μονὴ ἕτερον πλοῖον ἰδιόκτητον, καὶ ἐδέησεν ἐξαμωθῆναι τοῦτο, προσῆλθον τῷ καθ' ἡμᾶς σεκρέτῳ ὅ τε ῥηθεὶς τιμιώτατος καθηγούμενος καὶ οἱ δηλωθέντες μοναχοὶ καὶ ᾐτήσαντο ἐξαμωθῆναι τοῦτο καὶ παραδοθῆναι αὐτοῖς κατὰ τὴν τοῦ σεκρέτου συνήθειαν. ἡμεῖς οὖν τῇ τούτων αἰτήσει προσχόντες, ἐπεὶ τὸ προσιστάμενον ἦν οὐδὲν διὰ τὸ ἰδιόκτητον εἶναι τὸ τοιοῦτον πλοῖον τῆς διαληφθείσης μονῆς, παρεγενόμεθα ἐν τῷ αἰγιαλῷ τῷ λεγομένῳ Νεωρίῳ, ἐν ᾧ τοῦτο ἐλλιμενιζόμενον ἦν, καὶ παρόντων ἀπὸ τῶν ἐλαιοπαρόχων τοῦ καθ' ἡμᾶς σεκρέτου Ἰωάννου τοῦ Συροπούλου, Βασιλείου τοῦ Ἀρμενοπούλου, Κωνσταντίνου τοῦ Τζίτα, Λέοντος τοῦ Ἀοίνου, Παγκάλου τοῦ Τρικλινιώτου καὶ τῶν λοιπῶν, ἀλλὰ δὴ καὶ τοῦ τιμιωτάτου καθηγουμένου καὶ τῶν μοναχῶν, τῷ συνήθει ἐξάμῳ τοῦτο καθυπεβάλομεν· μίτου γὰρ διατεθέντος διὰ χειρῶν τοῦ τε δηλωθέντος Συροπούλου καὶ Ἰωάννου ἀναγνώστου τοῦ Καματηροῦ, τοῦ ἐνεργοῦντος τὸ πρωτομανδατορικὸν δικαίῳ τοῦ πανσεβάστου θείου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως καὶ λογοθέτου τοῦ δρόμου, κυροῦ Κωνσταντίνου τοῦ Τορνίκη, εὕρομεν τὸ μῆκος τούτου ἀπὸ τοῦ καταρτίου καὶ μέχρι τῆς ἐν τῇ πρύμνῃ φρακτῆς, μεθ' ὑπεξαίρεσιν τῆς ἀντλίας, πήχεων δεκαοκτώ· τὸ πλάτος κατὰ τὸ μεσαίτατον καὶ μόνον τῆς νηὸς πήχεων ἐννέα καὶ τὸ βάθος κατὰ τὸ αὐτὸ μεσαίτατον πήχεων δύο πρὸς τῷ ἡμίσει καὶ τῷ τετάρτῳ, ἀφ' ὧν ὑπεξελόντες ἀπὸ μὲν τοῦ πλάτους πῆχυν ἕνα, ἀπὸ δὲ τοῦ βάθους πήχεος τὸ τέταρτον διὰ τὸ μακρότατον εἶναι τὸ πλοῖον καὶ στενοεπίμηκες καὶ ἔχον ἐξ ὁλοκλήρου ἰσότητα, διὰ τὸ τὴν πρύμνην καὶ τὴν πρῶραν στενωτέραν εἶναι τῆς μέσης κατὰ τὸ πλάτος. ὡσαύτως καὶ κατὰ τὸ βάθος, διὰ τὸ ὑπερανεστηκυῖαν εἶναι τὴν τρόπιν ἐν τοῖς ῥηθεῖσι μέρεσι, περιεστήσαμεν τὴν τούτου χώρησιν εἰς μοδίους θαλασσίους δισχιλίους τριάκοντα τέσσαρας σὺν τῇ τῆς πρύμνης χωρήσει, καταλογισθείσῃ μοδίων θαλασσίων ἑκατὸν καὶ εἰς τὴν τῶν ἐγκοίτων καὶ τῶν σχοινίων ἀπόθεσιν, ὡς τῆς πρώρας μὴ ἐχούσης οἱανδήτινα χώρησιν διὰ τὸ τὸν ἀρτέμονα τοῦ τοιούτου πλοίου ἵστασθαι εἰς τὸ ἄκρον τούτου, ἐκθέντων καὶ τῶν συνήθως ἐωμένων μοδίων δέκα ὑπὲρ ἑκάστης ἑκατοστῆς. οὕτω τοίνυν τοῦ τοιούτου ἐξάμου παρ' ἡμῶν γεγονότος παρεδόθη τὸ δηλωθὲν πλοῖον τῇ πολλάκις ῥηθείσῃ μονῇ, ὀφεῖλον ἐξκουσσεύεσθαι κατὰ τὴν περίληψιν καὶ δύναμιν τῶν προσόντων αὐτῇ θείων καὶ βασιλικῶν προσκυνητῶν χρυσοβούλλων. εἴπερ μέντοι μετασκευασθὲν τὸ τοιοῦτον πλοῖον ἐσύστερον εὑρεθῇ χωρήσεως πλείονος, οὐ κατά τι ἕνεκεν τούτου εὐθυνθησόμεθα. †

† Μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος ζ΄. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης, Γεώργιος ὁ Τζίτας. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης, Κωνσταντῖνος σεβαστὸς ὁ Σχοινᾶς. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης, Ἰωάννης σεβαστὸς ὁ Σγουρός. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης, Ἰωάννης ὁ Ματζούκης. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης, Θεόδωρος ὁ Μαδαρίτης. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ αὐτοῦ σεκρέτου, Νικηφόρος ὁ Πεπαγωμένος. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης, Θεοχάριστος ὁ Εἰρηνικός. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης, Ἀλέξιος ὁ Σεργόπουλος. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ αὐτοῦ σεκρέτου, Βασίλειος ὁ Ἀγέλαστος. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ αὐτοῦ σεκρέτου, Ἀνδρόνικος σεβαστὸς ὁ Σκληνιάρης. †

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως Κωνσταντῖνος, πρωτονωβελισιμοϋπέρτατος καὶ παραθαλασσίτης, ὁ Κασταμονίτης. †

† Ὁ σεβαστὸς καὶ παραθαλασσίτης Κωνσταντῖνος ὁ Ῥαδηνός. †

*Edidit ex archtypo chart. I. Sakkelion in periodico* Πανδώρα, *vol. XVIII, p. 226—228. Flor. nro 70. Exemplar nro 71 subscriptum:* Ὁ κριτὴς τοῦ βήλου Ἀνδρόνικος σεβαστὸς . . ο ὁ . . άριος τὸ παρὸν ἴσον τῷ ἐμφανισθέντι μοι πρωτοτύπῳ ἀντιβαλὼν καὶ ἰσάζον εὑρὼν ὑπέγραψα. †

## XXXIV. 6701—1193, mense februario, ind. XI.

*Leo Stauraciotes et Constans Pselus, habitatores vici Sillami, siti in regione Messarea insulae Cretae, Leontio Oresti vendunt vineas*

| Σίγνον | Λέοντος | Σίγνον | Κώνστα |
|---|---|---|---|
| τοῦ Σταυ | ρακιώτου | τοῦ Ψέ | λου |

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. της Ι. τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Λέων ὁ Σταυρακιώτης καὶ Κώνστας ὁ Ψῆλος, οἱ ἀπὸ τοῦ χωρίου Σιλλάμου, τούρμας τοῦ βορείου τῆς Μεσσαρέας καὶ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς κατὰ τὴν ἀρχὴν τοῦ παρόντος ὕφους ἰδιοχείρως ποιήσαντες, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον, καθαράν, ἀληθῆ, βεβαίαν, αὐτοθελῆ, ἀμετάτρεπτον καὶ ἀμεταμέλητον καὶ κατὰ πάντα τρόπον τὸ καθόλου διάπρασιν καὶ τελείαν ἀπεντεῦθεν σωματικὴν παράδοσιν τῶν κατωτέρω δηλωθησομένων δύο τεμαχίων ἀμπελίων τῶν κατὰ τὸ δηλωθὲν χωρίον ἡμῶν ὄντων τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀμεταμελήτως μετὰ παντὸς τοῦ μέρους ἡμῶν πρὸς σὲ τὸν νοτάριον κῦριν Λέοντα τὸν Ὀρέστην, διὰ σοῦ δὲ καὶ πρὸς τὸ ἅπαν καὶ παντοῖον μέρος σου, καθὼς δηλωθήσεται. καὶ γὰρ τὰ ἀνωτέρω δηλούμενα δύο τεμάχια ἀμπέλια, τὰ ἐκ γονικῆς κληρονομίας ἡμῶν περιελθόντα ἡμῖν, καὶ πλησίον ὄντα τῶν ἀμπελίων τοῦ τε Μιχαὴλ τοῦ Στρουμπῆ καὶ τοῦ Πολίτου κυροῦ Μανουὴλ καὶ τοῦ Βάτου ἐπιλεγόμενα, τὰ καὶ ὡσεὶ πινακίων ἓξ τυγχάνοντα, μὴ ἔχοντες τὴν τούτων χρῆσιν, ἠθελήσαμεν διαπρᾶσαι ταῦτα πρός τινα τὸν αἱρούμενον τὴν τούτων ἐξώνησιν, ὡς δὲ μηδένα εὑρόντες τῶν τε πλησιαστῶν καὶ τῶν ἐκ μακρόθεν, ἀλλὰ πάντων ἀπαναινομένων, εὕρομεν σέ, τὸν δηλωθέντα κῦριν Λεόντιον τὸν Ὀρέστην, τὴν τούτων ἐξώνησιν ὑπεραποδεχόμενον· διὸ καὶ εἴδησιν περὶ τούτου δεδώκαμεν τῷ αὐθέντῃ ἡμῶν, [τῷ παν]εντιμοτάτῳ λογαριαστῇ κυρῷ Μιχαὴλ τῷ Χρυσοβέργῃ, καὶ [τῷ παν]οικειοτάτῳ ἁ . . . , τῷ αὐθέντῃ τοῦ [παν]σεβάστου σεβαστοῦ καὶ περιποθήτου ἀνεψιοῦ τοῦ κραταιοῦ [καὶ ἁγίου ἡ]μῶν βασιλέως καὶ δουκὸς τῆς καθ' ἡμᾶς νήσου Κρήτης, τοῦ Κομνηνοῦ κυροῦ Στεφάνου τοῦ Κοντοστεφάνου· καὶ τιμίαν αὐτοῦ λύσιν ἐπορισάμεθα, προστάξεως τόπον ἐπέχουσαν καὶ οὑτωσὶ ῥητῶς διακελευομένην·

«Ἔκθου, θεοσεβέστατε ἱερεῦ καὶ ταβουλλάριε Μιχαὴλ Λιμενίτη, πρακτήριον ἔγγραφον ἐπὶ τῷ πιπρασκομένῳ ἀμπελίῳ παρά τε τοῦ Ψήλου Κώνστα καὶ τοῦ Σταυρακιώτου Λέοντος πρὸς τὸν νοτάριον Λέοντα τὸν Ὀρέστην ἐπὶ τιμήματι νομισμάτων τρικεφάλων παλαιῶν ὀκτώ. περὶ δὲ τοῦ μὴ εἶναί τι τὸ προσιστάμενον, μελήσει τῷ ἐκλαμβανομένῳ. μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος ια'. † τὴν ὑπογραφὴν φέρουσαν δι' οἰκείων αὐτοῦ γραμμάτων· ὁ λογαριαστὴρ Μιχαήλ. †»

Ταύτην τοίνυν τῷ ταβουλλαρίῳ προκομίσαντες, καὶ ἐνώπιον αὐτοῦ τε καὶ τῶν μαρτύρων ἐλάβομεν αὐτὸ τὸ τίμημα ἀπὸ σοῦ, τὰ ὀκτὼ δηλαδὴ παλαιὰ τρικέφαλα νομίσματα, ἅτινα καὶ λαβόντες ἀπὸ σοῦ καὶ τοῦ μέρους σου, μετὰ καὶ τοῦ μέρους ἡμῶν σῶα καὶ ἀπαράλειπτα, ἀντιπαραδεδώκαμέν σοι καὶ τῷ μέρει σου σωματικῶς ἐκ τῆς σήμερον ἐπὶ καθαρᾷ καὶ τελείᾳ διαπράσει καλῇ

πίστει καὶ οὐδεμιᾷ ἀνάγκῃ ἢ καταδυναστείᾳ τὰ τοιαῦτα δύο σμικρότατα τεμάχια ἀμπέλια, ὡς ἂν καθέξεις αὐτὰ ἀπὸ τοῦ παρόντος μετὰ παντὸς τοῦ μέρους σου εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ἀπερικόπως, ἀπαρασπάστως, ἀδιασείστως, ἀνενοχλήτως, ἀνεγκλήτως καὶ ἀνεπιφωνήτως, κυρίως καὶ αὐθεντικῶς, ἐπὶ τελείᾳ καὶ ἀναφαιρέτῳ δεσποτείᾳ καὶ κυριότητι, ἀδείας σοι καὶ τῷ μέρει σου ἐπ᾽ αὐτοῖς παρ᾽ ἡμῶν διδομένης κτᾶσθαι, χρᾶσθαι, νέμεσθαι, πωλεῖν αὐτὰ ἢ καὶ δωρεῖσθαι, προικίζειν καὶ λεγατεύειν, βελτιοῦν καὶ ἐρημοῦν καὶ ἁπλῶς πάντα πράττειν σε ἐπ᾽ αὐτοῖς ἀκωλύτως, ὅσα σοι ἐκ τῶν φιλευσεβῶν νόμων ἐκκεχώρηνται, ὡς κύριος καὶ τέλειος καὶ ἀληθὴς δεσπότης τούτων, μὴ παρά τινος κωλυόμενος ἢ παρεμποδιζόμενος ἢ ὀχλούμενος τὸ σύνολον, οὐ παρ᾽ ἡμῶν αὐτῶν, οὐ παρ᾽ ἑτέρου προσώπου καὶ μέρους τινὸς συγγενικοῦ ἡμῶν, εἴτε καὶ ἀλλοίου, ἡμῶν αὐτῶν συμφωνούντων ἵστασθαι καὶ διεκδικεῖν καὶ δεφεντεύειν σέ τε καὶ ἅπαν τὸ μέρος σου οἰκείοις ἐξόδοις ἡμῶν ἀπὸ τούτων ἁπάντων, καὶ ἀποδιδόναι σοι καὶ τὸν κατὰ νόμους καθολικὸν τῆς ἐκδικήσεως δεφενσίωνα, ὡς καὶ σοῦ αὐτοῦ συμφωνοῦντος μετὰ παντὸς τοῦ μέρους σου, τὸ τελεῖν ἀπ᾽ ἀρχῆς τῆς . . . . . . . . . καὶ εἰς τὸ ἑξῆς τὸ ἀνῆκον ἀναγραφικὸν τέλος αὐτῶν· διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν πρατήριον ἔγγραφον ἡμῶν πρὸς σὲ ἐξεθέμεθα, δι᾽ οὗ καὶ ἀσφαλιζόμεθα, ὡσείπερ ἀπὸ τοῦ παρόντος ἐναντιούμενοι κατά τι ἀναφανῶμεν αὐτῷ μερικῶς ἢ καθόλου διὰ πλέον, τυχόν, τίμημα ἢ δι᾽ ὑπερθεματισμόν, τὸν ἐπέκεινα τοῦ διπλασιασμοῦ καὶ ἢ φόβον ἢ δόλον ἢ βίαν ἢ καταδυναστείαν ἢ ἀρχοντικὴν ἐπικουρίαν ἢ νόμου ἢ φάκτου ἄγνοιαν ἢ ἀναργυρίαν ἢ διατίμησιν ἢ χλεύην ἢ πλάνην ἢ ἀπάτην ἢ ῥᾳδιουργίαν ἢ ἀναρχίαν ἢ περιγραφὴν ἢ παραγραφὴν ἢ ὑπόσχεσιν ἢ ἕτερόν τι νόμιμον πρόβλημα καὶ κεφάλαιον τὸ ἀπὸ τοῖς θείοις νόμοις προσεπαρῆγον ἡμῖν εἰς ἀνατροπὴν τοῦ παρόντος ἐγγράφου ἡμῶν προβαλούμεθα, καὶ διὰ ταῦτα κίνησίν τινα ἢ ἀγωγὴν ἐν οἱῳδήτινι δικαστηρίῳ ποτὲ τῶν καιρῶν βουληθῶμεν κινεῖν κατὰ σοῦ ἢ τοῦ μέρους σοῦ περὶ τῆς δεσποτείας καὶ κατοχῆς τούτων, αὐτά τε δῆθεν ἀνακαλούμενοι μερικῶς ἢ καθόλου, καὶ τὸ παρὸν ἡμῶν ἔγγραφον διαβαλεῖν ἢ ἀργεῖσθαι πειρασόμεθα, ἀλλ᾽ ὄχλησιν ἢ ζημίαν σοι τούτων ἕνεκα τὸ σύνολον προξενήσομεν, οὐ μόνον ταύτην τὴν ζημίαν, ἥτις ἂν καὶ ἐστίν, ἀποδίδωμέν σοι, ἀλλὰ καὶ ἃ ἐλάβομεν νομίσματα ἀπὸ σοῦ κατὰ τὸ διπλάσιον πρὸς σὲ ἀποδίδωμεν καὶ ἀντὶ προστίμου, πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τρίτον τούτων, πρὸς τὸ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν ἔγγραφον ἡμῶν, καὶ τοῖς νόμοις εἶναι δεκτόν, ἐν ᾧ καὶ μετὰ τὸ ἀναγνωσθῆναι [ἡμῖν] τοῦτο καὶ ἑρμηνευθῆναι παρὰ τοῦ παρ᾽ ἡμῶν προσκληθέντος ταβουλλαρίου τοὺς τιμίους σταυροὺς ἐποιήσαμεν ἄνωθεν, τοῦ ὕφους γραφέντος τῇ ἡμῶν προτροπῇ

διὰ χειρὸς Μιχαὴλ ἱερέως καὶ ταβουλλαρίου τῆς νήσου Κρήτης τοῦ Λιμενίτου μηνὶ φεβρουαρίῳ ἰνδικτιῶνος ια', ἔτους ,ςψα' παρουσίᾳ τῶν ὑπογραψάντων μαρτύρων. †

† Ἰωάννης, εὐτελὴς ἱερεὺς καὶ κληρικὸς τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς τῆς μητροπόλεως Κρήτης καὶ δστιάριος, ὁ Ματζιτζήρης πάρειμι ἐπὶ τῇ παρούσῃ καθαρᾷ διαπράσει τῶν ἀναγεγραμμένων δύο τεμαχίων ἀμπελίων καὶ τῇ δόσει τῶν ὀκτὼ νομισμάτων, ὡς τὸ ὕφος δηλεῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Ἰωάννης, εὐτελὴς ἱερεὺς ὁ Ποθόπουλος, πάρειμι ἐπὶ τῇ παρούσῃ διαπράσει τῶν ἀναγεγραμμένων δύο τεμαχίων ἀμπελίων καὶ τῇ δόσει τῶν ὀκτὼ νομισμάτων, ὡς τὸ ὕφος διλεῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Νικηφόρος, εὐτελὴς ἱερεὺς ὁ Καλόθετος, πάρειμι ἐπὶ τῇ παρούσῃ διαπράσει τῶν ἀναγεγραμμένων δύο τεμαχίων ἀμπελίων καὶ τῇ δόσει τῶν ὀκτὼ νομισμάτων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Κωνσταντῖνος, εὐτελὴς ἱερεὺς καὶ ταβουλλάριος ὁ Μοῦφλος, προσκληθεὶς παρὰ τῶν ἐκθεμένων τὴν παροῦσαν διάπρασιν τῶν ἀμπελίων καὶ ταύτην αὐτοῖς ὑπαναγνοὺς καὶ ἑρμηνεύσας, εἰδὼς καὶ τὴν καταβολὴν τῶν ὀκτὼ νομισμάτων τρικεφάλων παλαιῶν, ὑπέγραψα. †

† Ὁ γραφεὺς τοῦ ὕφους Μιχαήλ, εὐτελὴς ἱερεὺς καὶ ταβουλλάριος τῆς νήσου Κρήτης ὁ Λιμενίτης, μαρτυρῶν καὶ αὐτὸς ὁμοίως ὑπέγραψα. †

*Archetyp. membranaceum Flor. nro 88.*

## XXXV. (6704—1195), mense octobri, ind. XIV.

***Tribunal maritimum demetitur peculiarem navem concessam monasterio per privilegia imperatorum a tributis exemptam, traditque eam monachis.***

† Τῆς σεβασμίας μονῆς τῆς ἐν τῇ νήσῳ Πάτμου διακειμένης καὶ ἐπ' ὀνόματι τιμωμένης τοῦ ἐπιστηθίου, ἠγαπημένου μαθητοῦ τῷ σωτῆρι θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ καὶ εὐαγγελιστοῦ Ἰωάννου παρθένου τοῦ Θεολόγου, πορισαμένης χρυσόβουλλα τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, διοριζόμενα ἔχειν τὴν τοιαύτην μονὴν ἐξκουσσείαν πλοιαρίων τριῶν, μὴ καταγεγραμμένων τοῖς δημοσιακοῖς κώδιξιν, ὄντων τε χωρήσεως χιλιάδος

μιᾶς πρὸς τῇ ἡμισείᾳ, μικρόν τι πλέον ἢ ἔλασσον, ἐγχωροῦντά τε τὰ τοιαῦτα πλοῖα πλέειν ἁπανταχοῦ τῶν τῆς ῥωμαϊκῆς ἐπικρατείας μερῶν καὶ διατηρεῖσθαι ἀνώτερα πάσης οἱασδήτινος συζητήσεώς τε καὶ ἐπηρείας, ναύλου, ἀντιναύλου, οὐ μέντοι γε καὶ [τῶν κεκωλυμένων εἰδῶν] καὶ διὰ τοῦτο προσελθόντων τῶν τῆς ῥηθείσης μονῆς μοναχῶν τῷ προβεβασιλευκότι κυρῷ Ἰσαακίῳ τῷ Ἀγγέλῳ, καὶ αἰτησαμένων ἐπικυρωθῆναι μὲν παρὰ τῆς ἁγίας αὐτοῦ βασιλείας τὰ ῥηθέντα προσκυνητὰ χρυσόβουλλα τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, προπάππου τῆς ἁγίας αὐτοῦ βασιλείας, ἐπιβραβευθῆναι [δὲ καὶ τὴν τῆς] δεκατείας ἐξκουσσείαν, καὶ τῇ δεήσει σύνδρομον αὐτίκα κορισαμένων χρυσόβουλλον λόγον τῆς ἁγίας αὐτοῦ βασιλείας ἐπικυροῦντα μὲν κατὰ τὴν αἴτησιν αὐτῶν καὶ τὰ προπορισθέντα τῇ αὐτῇ μονῇ χρυσόβουλλα, μέγα δέ τι καὶ πολύρρουν ἀ . . . . . . . . . . . . . . . . ἀπὸ τοῦ κατὰ ποταμὸν εἰς πάντα κόσμον ἐπιρρεύσαντος πολ . . . . . . . . . . . . . . . . . . . . τοῦ ἐλέους τοῦ κράτους αὐτοῦ τῶν δηλωθέντων μοναχῶν διὰ τῆς δεήσεως αὐτῶν, ὡς διά τ[ινος χ]αράδρας κατὰ πρανοῦς ῥεούσης, ἐφελκυ[σαμένων . . . . . . . . . . . . . . . . .] τῆς δεκατείας χρυσόβουλλον λόγον τῆς ἁγίας αὐτοῦ βασιλείας, τὸν οὑτωσὶν ἐν μέρει περιέχοντα· «ἐπεὶ δὲ οἱ κατὰ τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν ᾐτήσαντο τὴν βασιλείαν μου ἐξκουσσεύεσθαι τὰ τοιαῦτα πλοῖα καὶ ἀπὸ τοῦ κεφαλαίου τῆς δεκατείας ἤτοι τοῦ κομμερκίου, πῶς οὐκ ἂν ἡ βασιλεία μου τὴν αἴτησιν τούτων προσεδέξατο; «ἀντὶ γὰρ τῶν πατέρων ἐγεννήθησαν υἱοί.» ἐφ' ᾧ καὶ ὅπερ ὁ ἀοίδιμος ἐκεῖνος βασιλεὺς καὶ πρόπαππος τῆς βασιλείας μου ἀφῆκεν ἀτέλεστον, ἡ βασιλεία μου πρὸς πέρας ἄγει καὶ τελειοῖ· διορίζεται γὰρ διὰ τοῦ παρόντος χρυσοβούλλου [λόγου] ἔχειν μὲν τὰ προσόντα τῇ διαληφθείσῃ μονῇ χρυσόβουλλα, ὡς δεδήλωται, τὸ ἀπαρεγχείρητον καὶ ἀπαράθραυστον, καὶ μὴ τολμᾶν τινα τῶν δημοσιακὰς ἐνεργούντων δουλείας ἢ αὐτὸν τὸν κατὰ καιροὺς παραθαλασσίτην πειρᾶσθαι μερικῶς ἢ καθόλου ἐπηρεαστικῶς ἀθετεῖν τι ἢ ἀνατρέπειν τῶν ἐμπεριειλημμένων αὐτοῖς, ὡς ὀφειλόντων λογίζεσθαι, ὡς εἰ νῦν παρὰ τῆς βασιλείας μου ἐγεγόνεισαν, ἐξκουσσεύεσθαι δὲ σὺν τούτοις καὶ τὸ τῆς δεκατείας ἅπαν κεφάλαιον ἀπό τε τῶν οἰναρίων καὶ παντὸς ἑτέρου εἴδους καὶ πράγματος τὰ δηλωθέντα πλοιάρια, καὶ ἐν τῇ θεοσώστῳ Κωνσταντινουπόλει ἅπαξ τοῦ ἐνιαυτοῦ καταίροντα, ὡς ὀφείλοντα δέχεσθαι καὶ τὰ τῷ τοιούτῳ κεφαλαίῳ τῆς δεκατείας ἀνήκοντα, καὶ τοῖς κατὰ καιροὺς ἐνεργοῦσι τὰς τῆς θαλάσσης δουλείας, τῇ ἐμφανίσει καὶ μόνῃ τῶν μελλουσῶν προβαίνειν πεπιστωμένων ἀποδείξεων ἀπὸ τοῦ μέρους τῆς πολλάκις διαληφθείσης σεβασμίας μονῆς, εἴτε ἐπὶ πάκτον ἢ καὶ εἰς τὸ πιστὸν ἐνεργοῦσι· «καὶ ἐ[πεὶ] ἐδέησε τῷ μέρει τῆς αὐτῆς μονῆς

ἐξαμωθῆναι παρὰ τοῦ καθ' ἡμᾶς σεκρέτου κατὰ τὴν συνήθειαν καὶ παραδοθῆναι αὐτοῖς τὸ ἐκ καινῆς παρ' αὐτῶν ἰδίοις ἀναλώμασιν ναυπηγηθὲν πλοῖον, ὡς τῶν προσόντων αὐτῇ ἑτέρων ἐξημωμένων καὶ παραδεδομένων πλοίων ναυαγίῳ περιπεσόντων. ἡμεῖς ἐν ἀκριβεῖ πληροφορίᾳ ὄντες τοῦ ἰδιόκτητον εἶναι τῇ δηλωθείσῃ μονῇ τὸ πλοῖον, ἐπιστάντες τῷ αἰγιαλῷ τοῦ Νεωρίου, ἐν ᾧ τὸ τοιοῦτον ἐλλιμενίζετο πλοῖον, τῷ συνήθει ἐξάμῳ τοῦτο καθυπεβάλλομεν παρουσίᾳ ἀπὸ μὲν τοῦ καθ' ἡμᾶς σεκρέτου Ἰωάννου ἀναγνώστου τοῦ Καματηροῦ, τοῦ ἐνεργοῦντος τὸ πρωτομανδατορικὸν ὀφφίκιον δικαίῳ τοῦ πανσεβάστου σεβαστοῦ καὶ ἐπὶ τῶν δεήσεων, κυροῦ Κωνσταντίνου τοῦ Τορνίκη, Βασιλείου τοῦ Ἀρμενοπούλου, τοῦ ἐνεργοῦντος τὸ πρωτοελατικὸν δικαίῳ τοῦ βασιλικοῦ βεστιαρίτου, τοῦ Εὐσταθίου, τοῦ Κασταμονίτου, τοῦ Συροπούλου Ἰωάννου, τοῦ Τζίτα Κωνσταντίνου, Μανουὴλ τοῦ Κιννάμου καὶ ἑτέρων, ἀπὸ δὲ τοῦ μέρους τῆς μονῆς τοῦ τιμιωτάτου καθηγουμένου κυροῦ Ἀρσενίου, τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου καὶ οἰκονόμου, τοῦ μοναχοῦ κυροῦ Μελετίου, καὶ τοῦ μοναχοῦ κυροῦ Ἀντωνίου· διαταθέντος γὰρ μίτου παρὰ τοῦ Συροπούλου Ἰωάννου καὶ τοῦ ἐνεργοῦντος τὸ πρωτομανδατορικόν, τοῦ Καματηροῦ, εὑρέθη τὸ μῆκος πήχεων δεκαπέντε, τὸ πλάτος πήχεων ἑπτά, καὶ τὸ βάθος πήχεων δύο ἥμισυ, ὧν δὴ διαστημάτων συμψηφισθέντων παρ' ἡμῶν κατὰ τὸ σύνηθες, εὑρέθη ἡ χώρησις τοῦ τοιούτου πλοίου μοδίων θαλασσίων ,αφοβ', ἀφ' ὧν καταπεσθέντων μοδίων ἑκατὸν πεντήκοντα, ἤγουν ἐπὶ μιᾷ χιλιάδι μοδίων ἑκατὸν κατὰ τὸ περὶ τούτου πρόσταγμα, ἐναπέμεινε τὸ τοιοῦτον πλοῖον χωρήσεως μοδίων θαλασσίων ,αυκβ', καὶ παρεδόθη τῷ μέρει τῆς τοιαύτης μονῆς, ὥστε ἐξκουσσεύεσθαι κατὰ τὴν περίληψιν καὶ δύναμιν τοῦ προσκυνητοῦ αὐτοῦ χρυσοβούλλου περὶ ἐξκουσσείας πλοίων. μηνὶ ὀκτωβρίῳ ἰνδικτιῶνος ιδ'. εἴπερ μέντοι μετασκευασθῇ τὸ τοιοῦτον πλοῖον καὶ πλείονος εὑρεθῇ χωρήσεως, ἡμεῖς ἀνεύθυνοι ἕνεκα τούτου διατηρηθησόμεθα. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης Θεοχάριστος ὁ Εἰρηνικός. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ αὐτοῦ σεκρέτου Ἀνδρόνικος ὁ Σπληνιάρης. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης ὁ Σγουρός. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης Κωνσταντῖνος ὁ Σχοινᾶς. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης Γεώργιος ὁ Ζέπας. †

† Γρηγόριος, βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης, ὁ Τριβλαττίτης. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης Θεόδωρος ὁ Καρυστινός. †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης Θεόδωρος ὁ Ταρωνίτης †

† Ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῆς θαλάσσης Κωνσταντῖνος ὁ Ἰκριώτης. †

† Ὁ ἐν τῷ αὐτῷ σεκρέτῳ ἐνεργῶν δικαίῳ τοῦ αὐθέντου θείου μου τοῦ μεγαλοδοξοτάτου πρωτονοβελισίμου κυροῦ Στεφάνου τοῦ Γαβαλᾶ, τοῦ βασιλικοῦ νοταρίου τοῦ αὐτοῦ σεκρέτου Ἐπιφάνιος ὁ Κρατερός. †

† Ὁ τοῦ αὐτοῦ σεκρέτου βασιλικὸς νοτάριος Θεόδωρος ὁ Μαδαρίτης. †

† Ὁ ἐνεργῶν τὴν τῆς θαλάσσης δουλείαν δικαίῳ τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως καὶ πιγκέρνης, κυροῦ Ἰωάννου τοῦ Σεργοπούλου, Ἰωάννης ὁ Χρύσανθος. †

† Ὁ ἐνεργῶν τὴν τῆς θαλάσσης δουλείαν δικαίῳ τοῦ πανσεβάστου σεβαστοῦ καὶ πριμμικηρίου τῶν Βαρδαριωτῶν, κυροῦ Κωνσταντίνου Ταρό . . . . . . η Γεώργιος ὁ Σ . . . . . †

† Ὁ ἐνεργῶν δικαίῳ τοῦ αὐθέντου τοῦ καὶ ἀδελφοῦ μου, τοῦ πρωτονοβελισιμοϋπερτάτου κυροῦ Μιχαὴλ τοῦ Μεσοποταμίτου, Ἰωάννης ὁ Μεσοποταμίτης. †

*Ex exemplari edid. I. Sakkelion in periodico* Πανδώρα, *vol. XVIII, p. 228—230. Flor. nro 55.*

## XXXVI. 6705—1196, mense novembri, ind. XV.

*Imperator Alexius III. Angelus supplicante abbate Arsenio donat monasterio coenobium dictum Nesiou in insula Creta cum bonis immobilibus eius.*

Δέησις Ἀρσενίου, ταπεινοῦ μοναχοῦ, καθηγουμένου τῆς ἐν τῇ νήσῳ Πάτμῳ σεβασμίας μονῆς τοῦ ἠγαπημένου ἀποστόλου παρθένου καὶ Θεολόγου καὶ τῶν σὺν αὐτῷ μοναχῶν, ἀναξίων δούλων καὶ εὐχετῶν.

† Τολμῶντες οἱ ἀνάξιοι δοῦλοι καὶ εὐτελεῖς εὐχέται τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου ἀναφέρομεν, δέσποτα ἡμῶν ἅγιε. ἡ ἐν τῇ νήσῳ Πάτμῳ μονὴ ἡ ἐπ' ὀνόματι τοῦ ἠγαπημένου ἀποστόλου παρθένου καὶ Θεολόγου ἱδρυμένη εἰς πολὺν ἀριθμὸν μοναχῶν κορυφωθεῖσα (ἐγγὺς γάρ που τῶν ἑκατὸν πεντήκοντα μοναχῶν ἐν αὐτῇ ἀσκοῦνται) μεγάλην ἔχει τὴν ἔνδειαν καὶ ἐπὶ τῷ ψωμῷ αὐτῷ· ἐπέκτητο γὰρ μέρος ἀναψυχῆς ἀπὸ τῶν ἑπτακοσίων μοδίων τῶν διδομένων αὐτῇ ἀπὸ τῶν κατὰ τὴν Κρήτην βασιλικῶν ἐπισκέψεων, τῶν δὲ τοιούτων βασιλικῶν ἐπισκέψεων παραδοθεισῶν τοῖς ἐντοπίοις παρὰ τοῦ ἀοιδίμου πατρὸς τῆς ἁγίου σου βασιλείας καὶ τελουμένων παρ' αὐτῶν νομισματικῶν [δόσεων] ἐξεκόπη καὶ ἡ πρὸς ἡμᾶς γινομένη δόσις τῶν ἑπτακοσίων μοδίων. ἐτυπώθησαν δὲ ἡμῖν ἀντ' αὐτῶν λίτραι [καινούργιαι] δύο καὶ οὐκ ἔχομεν ἀλλαχόθεν τὴν οἱανοῦν ἢ νομισματικὴν ἢ γεννηματικὴν εἴσοδον. ἔστι τοίνυν κατὰ τὴν αὐτὴν νῆσον Κρήτην ἀκίνητον ἀπὸ τῶν βασιλικῶν ἐπισκέψεων λεγόμενον Νησὶ ἐν τῇ τοποθεσίᾳ τοῦ Ψυχροῦ διακείμενον, ὅπερ δι' ὑπομνήσεως παρὰ τοῦ ἐπισκόπου Καλαμνῶν, τοῦ καλουμένου Ἀρᾶ, ζητηθὲν αὐτῷ παρεδόθη, ἀλλ' οὐχὶ καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, διὰ χρυσοβούλλου τοῦ περιποθήτου αὐταδέλφου τῆς βασιλείας σου, κυροῦ Ἰσαακίου, τοῦ τότε βασιλεύοντος, ἐκκοπέντων εἰς τὸ διηνεκὲς καὶ τῶν τεσσαράκοντα ὀκτὼ [ὁμοίων] νομισμάτων τῶν ζητουμένων χάριν δημοσίου τέλους, ὑποσχομένῳ καὶ μοναστήριον πεποιηκέναι. καὶ μέντοι καὶ ἔκτισε μοναστήριον ἐπ' ὀνόματι τοῦ ἁγίου Νικήτα, καὶ προσεκάθισεν ἐν αὐτῷ μοναχοὺς ὡσεὶ τέσσαρας ἢ καὶ πέντε, καὶ κατείχετο μὲν τὸ τοιοῦτον ἀκίνητον καὶ τὸ μοναστήριον παρὰ τοῦ ἐπισκόπου Καλαμνῶν, μέχρις ἂν ἐν τοῖς ζῶσιν διῆγεν. ἐπεὶ δὲ ἐπιβουλευθείς, οἷα τὰ τοῦ θεοῦ κρίματα, ἐφονεύθη, τὶς ἐν τόπῳ Χορτάτζιν καλούμενον, πλησιάζον τῷ τοιούτῳ ἀκινήτῳ, προσελθὼν τῷ τηνικαῦτα δουκὶ Κρήτης καὶ ζητήσας τὴν παρὰ τοῦ ἐπισκόπου ἀνεγερθεῖσαν τοιαύτην μονὴν εἰς λόγον ἐφορείας κατεκράτει σὺν τῇ μονῇ καὶ τὸ ἀκίνητον. παρακαλοῦμεν οὖν τὸ ἔνθεον κράτος τῆς ἁγίας βασιλείας σου, ἐπεὶ καὶ ἡ μονὴ καὶ τὸ ἀκίνητον ἐλεύθερά εἰσι καὶ οὐδὲ [τὸ] δημόσιον ἔχει ἐκεῖθεν συνεισφοράν, δωρηθῆναι διὰ χρυσοβούλλου λόγου τῆς ἁγίας βασιλείας σου τῇ ἐν τῇ νήσῳ Πάτμῳ καθ' ἡμᾶς σεβασμίᾳ μονῇ τοῦ ἠγαπημένου Θεολόγου τήν, ὡς εἴρηται, παρὰ τοῦ ἐπισκόπου κτισθεῖσαν τοιαύτην μονὴν σὺν τῷ κατ' αὐτὴν ἀκινήτῳ, ὡς ἂν στήσωμεν ζευγαρίτζια, ὅσα δυνηθῶμεν, καὶ γεωργῆται σῖτος ὁ μέλλων διαρκεῖν καὶ τὴν ἐν τῇ Πάτμῳ μονὴν καὶ τὴν ἐν τῷ ἀκινήτῳ, ἀλλὰ καὶ ὑπὲρ τῶν ζευγαρίων καὶ τῶν ἑτέρων ζώων, ὧν ἂν δυνηθῶμεν ὁθενδήποτε ἐπικτήσασθαι, μὴ ζητεῖσθαι ἐξ ἡμῶν τέλος ἢ ὑπὲρ ὧν ἴσως ἔχει προσκαθίσαι ἀγνώστων τῷ δημοσίῳ παροικιτζ[ίων]

ἐπὶ τῷ τοιούτῳ ἀκινήτῳ, ἀλλὰ μηδὲ ἐφ' οἱαδήτινι ἐπηρείᾳ τούτων ἐπηρεάζεσθαι. καὶ τούτου γενομένου οὐ παυσόμεθα ὑπερεύχεσθαι τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου, ἧς ὡς δοῦλοι ἀνάξιοι τολμήσαντες ἐδεήθημεν. †

**Λύσις τοῦ αὐτοκράτορος Ἀλεξίου γ' Κομνηνοῦ ἀπολυθεῖσα ἐπὶ τῇ ὑπομνήσει Ἀρσενίου μοναχοῦ καὶ καθηγουμένου τῆς μονῆς.**

† Ἡ βασιλεία μου ἅμα μὲν καὶ τὴν καθ' ὑμᾶς σεβασμίαν μονὴν ἐμπλατύνεσθαι θέλουσα, ἅμα δὲ καὶ τὸ ἐντὸς δηλούμενον ἀνεγερθῆναι μοναστήριον παρὰ τοῦ θεοφιλεστάτου ἐκείνου ἐπισκόπου Καλαμνῶν, τοῦ Ἀρᾶ, μοναχικῆς ἀκολουθίας βουλομένη κρατεῖν καὶ μὴ παρὰ κοσμικῶν καὶ λαϊκῶν ἀνθρώπων διεξάγεσθαι, ἐξ ὧν ὑφορᾶται γίνεσθαι ἐπὶ τοῖς τοιούτοις, τοὐναντίον δὲ . . . . . ἀφορίζει αὐτό τε τὸ μοναστήριον καὶ τὸ ὑπ' αὐτὸ ἀκίνητον, τὸ καλούμενον Νησίν, τῇ καθ' ὑμᾶς σεβασμίᾳ μονῇ μετὰ πάσης τῆς περιοχῆς αὐτῶν καὶ διακρατήσεως καὶ τῶν ὅλων τούτων δικαίων καὶ προνομίων καὶ τῆς τῶν τελεσμάτων συμπαθείας τῆς, ὡς ὑπεμνήσατε, διὰ χρυσοβούλλου λόγου τοῦ προβεβασιλευκότος αὐταδέλφου τῆς βασιλείας μου ἀπονενεμημένης αὐτῷ· καὶ διορίζεται διὰ τῆς παρούσης προστάξεως, ὑπὸ τὴν καθ' ὑμᾶς μονὴν τοῦ ἠγαπημένου Θεολόγου καὶ ταῦτα τελεῖν καὶ παρὰ τοῦ μέρους αὐτῆς διοικεῖσθαι τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς, θεαρέστως μέντοι καὶ κατὰ μοναχικὴν παρατήρησιν. καὶ γίνεσθαι μὲν καὶ τὴν τοῦ μοναστηρίου οἰκονομίαν ἅπασαν φωταγωγίαν, λυχνοκαΐαν καὶ λοιπὴν ἐπιμέλειαν τῆς τε ἐκκλησίας καὶ τῶν μοναχῶν ἀπὸ τῆς εἰσόδου τοῦ ὑπ' αὐτὸ ἀκινήτου καὶ τῶν κατ' αὐτὸ ἀνελλιπῶς, ἀποφέρεσθαι δὲ τὴν καθ' ὑμᾶς σεβασμίαν μονὴν τὴν τῆς εἰσόδου περίσσειαν εἰς οἰκείαν περιποίησιν. εὐδοκεῖ δὲ ἡ βασιλεία μου ἐφορᾶσθαι ὑμᾶς ὅσον ἐπὶ τούτοις, παρὰ τοῦ κατὰ τὴν ἡμέραν μυστικοῦ τοῦ σήμερον τὴν τῶν τοιούτων διοίκησιν ἔχοντος, ὀφείλοντος ὑπεκστῆναι τῇ καθ' ὑμᾶς μονῇ τῆς κατοχῆς παντὸς διαφέροντος τῷ διαληφθέντι μοναστηρίῳ καὶ τῷ ἀκινήτῳ καὶ ἀντιστρέψαι, εἴ τι ἀπὸ τῶν εἰσόδων αὐτῶν ἀπολέλειπται τούτῳ μεθ' ὑπεξαίρεσιν τῶν ἀπαραιτήτων ἐξόδων. ὃ δὴ μοναστήριον σὺν τῷ ἀκινήτῳ καὶ διὰ πρακτικοῦ παραδοθῆναι ὑμῖν, εἰ δεήσει, παρὰ τοῦ δουκὸς Κρήτης, τῆς παρούσης προστάξεως τῆς βασιλείας μου ἀρκεῖν ὀφειλούσης ἀντὶ παντὸς δικαιώματος. †

† Εἶχε τό· μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος ιε' τοῦ βασιλέως [καὶ] [τὴν] διὰ κηροῦ συνήθη σφραγῖδα· τό· διὰ τοῦ Μεσοποταμίτου Θεοδώρου καὶ τό· κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογαριαστοῦ κατὰ μῆνα νοέμβριον ἰνδικτιῶνος ιε', ἔτους ,ςφέ. †

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΛ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΠΕΣΙΟΣ
Ε. Γ. Α. Φ. Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

† Ὁ κριτὴς τοῦ βήλου Κωνσταντῖνος πρωτονωβελίσιμος ὁ Βαλσαμὼν τὰ παρόντα ἴσα τῆς τε ὑπομνήσεως καὶ τῆς βασιλικῆς λύσεως τοῖς πρωτοτύποις ἀντιβαλὼν ὑπέγραψα. †

*Exemplar chart. Flor. nro 56.*

## XXXVII. 6705—1197, mense iunio, ind. XV.

*Donatio a Constantino Paphnutio Exotrocho facta monasterio et pactio cum eodem.*

† Κωνσταντῖνος Π[αφνούτιος ὁ καὶ] Ἐξώτροχος προέταξα. †

† Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Κωνσταντῖνος ὁ Ἐξώτροχος ὁ καὶ Παφνούτιος, ὁ καὶ ἐνταῦθα οἰκειοχείρως προτάξας, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον μετὰ προσενέξεως καὶ προσκυρώσεως συμφωνίαν τε καὶ ἀφιέρωσιν καὶ ἀποκατάστασιν τοῦ πράγματος τίθημι καὶ ποιῶ ἑκουσίως, ἀφόβως, ἀβιάστως καὶ ἀμεταμελήτως, οὐκ ἔκ τινος ἀνάγκης ἢ βίας ἢ δυναστείας ἢ συναρπαγῆς ἢ δελεασμοῦ ἢ ἄλλης τῆς οἱασοῦν περινοίας καὶ δολιότητος, ἀλλὰ μετὰ πολλῆς μου μᾶλλον τῆς προθυμίας καὶ μεγίστης ἀποδοχῆς καὶ ὁλοψύχου προθέσεως καὶ ἀρεσκείας καὶ μετὰ μεμεριμνημένου σκοποῦ καὶ χρονιαίας τῆς διασκέψεως καὶ μετὰ καθολικοῦ καὶ νομίμου δεφενσίωνος, πρὸς σὲ τὸν ὁσιώτατον πατέρα καὶ αὐθέντην μου, τὸν καθηγούμενον τῆς ἐν τῇ νήσῳ Πάτμῳ καθιδρυμένης οὔσης σεβασμίας μονῆς τῆς εἰς ὄνομα τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ παρθένου Ἰωάννου τοῦ Θεολόγου, μοναχὸν κῦριν Ἀρσένιον, καὶ διὰ σοῦ πρὸς τοὺς ἐν αὐτῇ τῇ μονῇ καὶ ὑπὸ σὲ ἀσκουμένους μοναχοὺς καὶ ἅπαν τὸ μέρος αὐτῆς, καθὼς δηλωθήσεται. καὶ γάρ, ὡς ἐπεὶ δι' ἐφέσεως ἔχων πάντοτε καὶ τὰ πρὸς σωτηρίαν τῆς ταπεινῆς μου ψυχῆς καὶ τοῦ ἀθλίου μου σώματος ἀεὶ μελετῶν, ὥστε καὶ συνθήκας ἐπέδωκα εἰς θεόν, καὶ λόγους μετὰ σοῦ τοῦ δηλωθέντος καθηγουμένου πρό τινος καιροῦ καὶ ἀφιερώσεις ἔφθασα ποιῆσαι πρὸς τὸ ἀποκαρθῆναί με ἐν τῇ ῥηθείσῃ ὑπὸ σὲ σεβασμίᾳ μονῇ τοῦ Θεολόγου, ἀλλὰ καὶ δόσιν τινὰ καὶ ἀφιέρωσιν ζῴων πρὸς αὐτὴν θέμενος, πλὴν ἀκμὴν οὐκ ἔφθασα ἐκπληρῶσαι τὴν τοιαύτην μου πρὸς θεὸν αἴτησιν κωλυόμενος μέχρι τῆς σήμερον ἐπὶ ταῖς βιωτικαῖς τύρβαις καὶ περιστάσεσιν, ἠθέλησα τὴν σήμερον κἂν αὐτήν τε τὴν ἀφιερωθεῖσαν παρ' ἐμοῦ πρὸς τὴν τοιαύτην μονὴν προσένεξιν ἐκπληρῶσαί τε καὶ ἀποκαταστῆσαι· καὶ ἰδοὺ διὰ τοῦ παρόντος ἐγγράφου μου ἀποδίδωμι ἀπὸ τῆς σήμερον πρὸς αὐτήν τε τὴν μονὴν τῆς Πάτμου, ὑπὲρ ψυχικῆς μου σωτηρίας, ἕνεκα καὶ μνημοσύνου ἐμοῦ τε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΠΕΘΟΝΤΙΣΕ: Π. (ΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Επ. Δ. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006